302 τι τῶν ἄλλων ἱερῶν ἐκ διαδοχῆς | παραλαμβάνοντες, ἄχρι
Κανδαύλης ἀπαξιώσας ἑνὶ τῶν ἑταίρων φορεῖν ἔδωκεν.
ἐπεὶ δὲ Γύγης ἀποστὰς ἐπολέμει πρὸς αὐτόν, ἦλθεν
Ἄρσηλις ἐκ Μυλασέων ἐπίκουρος τῷ Γύγῃ μετὰ δυνά-
μεως, καὶ τόν τε Κανδαύλην καὶ τὸν ἑταῖρον αὐτοῦ δια-
φθείρει, καὶ τὸν πέλεκυν εἰς Καρίαν ἐκόμισε μετὰ τῶν
ἄλλων λαφύρων. καὶ Διὸς ἄγαλμα κατασκευάσας τὸν
πέλεκυν ἐνεχείρισε, καὶ Λαβρανδέα τὸν θεὸν προσηγό-
ρευσε· Λυδοὶ γὰρ 'λάβρυν' τὸν πέλεκυν ὀνομάζουσι.

**46.** 'Διὰ τί Τραλλιανοὶ καθαρτῆρα καλοῦσι τὸν ὄρο-
B βον καὶ χρῶνται μάλιστα πρὸς τὰς ἀφοσιώσεις καὶ τοὺς
καθαρμούς;' ἢ ὅτι Λέλεγες καὶ Μινύαι τὸ παλαιὸν ἐξ-
ελάσαντες αὐτοὺς τὴν πόλιν καὶ τὴν χώραν κατεῖχον,
ὕστερον δ' οἱ Τραλλιανοὶ κατελθόντες καὶ κρατήσαντες,
ὅσοι τῶν Λελέγων οὐ διεφθάρησαν οὐδ' ἔφυγον ἀλλὰ δι'
ἀμηχανίαν βίου καὶ ἀσθένειαν ὑπελείφθησαν αὐτόθι, τού-
των οὐδένα λόγον ἔχοντες οὔτε ζώντων οὔτ' ἀπολλυ-
μένων, νόμον ἔθεντο τὸν κτείναντα Μινύην ἢ Λέλεγα
Τραλλιανῶν καθαρὸν εἶναι, μέδιμνον ὀρόβων ἀπομετρή-
σαντα τοῖς οἰκείοις τοῦ φονευθέντος;

**47.** 'Διὰ τί παρὰ τοῖς Ἠλείοις παροιμιῶδές ἐστι τό
C 'δεινότερα Σαμβίκου παθεῖν';' λέγεταί τινα Σάμβικον
Ἠλεῖον ἔχοντα πολλοὺς ὑφ' ἑαυτῷ συνεργοὺς πολλὰ περι-
κόψαι τῶν ἐν Ὀλυμπίᾳ χαλκῶν ἀναθημάτων καὶ ἀπο-
δόσθαι, τέλος δὲ συλῆσαι τὸ τῆς ἐπισκόπου Ἀρτέμιδος
ἱερόν· τοῦτο δ' ἐστὶ μὲν ἐν Ἤλιδι, καλεῖται δ' Ἀριστάρ-
χειον. εὐθὺς οὖν μετὰ ταύτην τὴν ἱεροσυλίαν ἁλόντα βα-
σανίζεσθαι δι' ἐνιαυτοῦ περὶ ἑκάστου τῶν κεκοινωνη-